Χριστός ἀνέστη ἐκ νεκρῶν,

θανάτῳ θάνατον πατήσας,

καί τοῖς ἐν τοῖς μνήμασι ζωήν χαρισάμενος. (τρίς)

Ἀνάστασιν Χριστοῦ θεασάμενοι,

προσκυνήσωμεν Ἅγιον, Κύριον, Ἰησοῦν

τόν μόνον ἀναμάρτητον.

Τόν Σταυρόν σου, Χριστέ, προσκυνοῦμεν

καί τήν Ἁγίαν σου Ἀνάστασιν ὑμνοῦμεν και δοξάζομεν.

Σύ γάρ εἶ Θεός ἡμῶν,

ἐκτός σοῦ ἄλλον οὐκ οἴδαμεν,

τό ὄνομά σου ὀνομάζομεν.

Δεῦτε πάντες οἱ πιστοί προσκυνήσωμεν

τήν τοῦ Χριστοῦ Ἁγίαν Ἀνάστασιν.

Ἰδοῦ γάρ ἦλθε διά τοῦ Σταυροῦ χαρά ἐν ὅλῳ τῷ κόσμῳ.

Διά παντός εὐλογοῦντες τόν Κύριον,

ὑμνοῦμεν τήν Ἀνάστασιν αὐτοῦ.

Σταυρόν γάρ ὑπομείνας δι’ ἡμᾶς

Θανάτῳ θάνατον ὤλεσεν.

Ἀναστάς ὁ Ἰησοῦς ἀπό τοῦ τάφου,

καθῶς προεῖπεν,

ἔδωκεν ἡμῖν τήν αἰώνιον ζωήν καί το μέγα ἔλεος.

Αμήν


Καλόν Πάσχα